eul_wid: bzo-ac

*Κριτίας ὁ Ἀθηναῖος* · Critias of Athens

## Heracles in the Underworld

*Ἀποσπάσματα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἔμμετρος* Verse
**Affiliation:** Sophist

book 1 〈ἡ σκηνὴ τοῦ δράματος ἐν Ἅιδου〉

book 1.1 [ln_1][spk_αιακος]ΑΙΑΚΟΣ· Ἔα, τί χρῆμα; δέρκομαι

book 1.2 σπουδῇ τινα δεῦρ' ἐγκονοῦντα καὶ μάλ' εὐτόλμῳ φρενί. εἰπεῖν δίκαιον, ὦ ξέν', ὅστις ὢν τόπους ἐς

book 1.3 τούσδε

book 1.4 χρίμπτῃ καὶ καθ' ἥντιν' αἰτίαν.

book 1.1 [ln_5][spk_ηρακλης]ΗΡΑΚΛΗΣ· οὐδεὶς ὄκνος πάντ' ἐκκαλύψασθαι λόγον· ἐμοὶ πατρὶς μὲν Ἄργος, ὄνομα δ' Ἡρακλῆς, θεῶν δὲ πάντων

book 1.2 πατρὸς ἐξέφυν Διός· ἐμῇ γὰρ ἦλθε μητρὶ κεδνὰ πρὸς λέχη Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο. [ln_10]ἥκω δὲ δεῦρο

book 1.3 πρὸς βίαν, Εὐρυσθέως ἀρχαῖς ὑπείκων, ὅς μ' ἔπεμψ' Ἅιδου κύνα ἄγειν κελεύων ζῶντα

book 1.4 πρὸς Μυκηνίδας πύλας, ἰδεῖν μὲν οὐ θέλων, ἆθλον δέ μοι ἀνήνυτον τόνδ' ᾤετ' ἐξηυρηκέναι.

book 1.1 [ln_15]τοιόνδ' ἰχνεύων

book 1.2 πρᾶγος Εὐρώπης κύκλῳ Ἀσίας

book 1.3 τε πάσης ἐς μυχοὺς ἐλήλυθα.

book 2.1 [spk_χορος]ΧΟΡΟΣ[ln_1]ἵνα

book 2.2 πλημοχόας τάσδ' εἰς

book 2.3 χθόνιον [para]χάσμ' εὐφήμως

book 2.4 προχέωμεν

book 3.1 ἀκάμας

book 3.2 τε χρόνος

book 3.3 περί τ' ἀενάῳ ῥεύματι

book 3.4 πλήρης

book 3.5 φοιτᾷ τίκτων αὐτὸς ἑαυτόν, δίδυμοί τ' ἄρκτοι

book 3.6 ταῖς ὠκυπλάνοις

book 3.7 πτερύγων ῥιπαῖς[ln_5]τὸν Ἀτλάντειον

book 3.8 τηροῦσι πόλον

book 4 σὲ τὸν αὐτοφυῆ, τὸν ἐν αἰθερίῳ ῥύμβῳ πάντων φύσιν ἐμπλέξανθ’, ὃν πέρι μὲν φῶς, πέρι δ’ ὀρφναία νὺξ αἰολόχρως ἄκριτός τ’ ἄστρων[ln_5]ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει

book 5.1 [spk_〈πειριθ.〉]〈ΠΕΙΡΙΘ.〉 ...[ln_1]εσφηλα[ ....[ κατελ.[ ἐλθὼν .[[ln_5]Ἕλλην[ βωμω..[ θεὸς δὲ μανια[ ἔπεμψεν ἄτη[ν νεφέλην γυναικ[[ln_10]ἔσπειρεν εἰς

book 5.2 τοὺς θ.[ θυγατρὶ μίσγοιτ’ ε[ τοίων δὲ κόμπω[ν

book 5.3 ποινὰς θεοῖς ἔτεισεν[ μανίας

book 5.4 τροχῶι

book 5.5 περι[[ln_15]οἰστρη[λ]άτοισιν

book 5.6 ωχ[ ἄπυστο[ς] ἀνθρώποι[σι ἔκρυψεν, ἀλλὰ βορε[α διεσπα[ρ]άχθη σ[υ]ν μ[ πατὴ[ρ ἁ]μαρτὼν εἰς θε[οὺς[ln_20]ἐγὼ [δ’ ἐκ]είνου π[ή]ματα[

book 6 Θησεὺς τῷ Πειρίθῳ κολαζομένῳ καὶ δεδεμένῳ[ln_1]αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις

book 7.1 ...[ln_1][ ca. 25 ll. ].σησ[ [ ca. 26 ll. ]πη[ [ ca. 25 ll. ]ν πόνου .........].σοι

book 7.2 το.[.....] ἡδὺ ν[ῦ]ν δοκεῖ

book 7.1 [ln_5][spk_〈θησευς〉]〈ΘΗΣΕΥΣ〉 ........ ]τος, Ἡράκλεις, [σὲ] μέμψομαι ........ ]η, πιστὸν γὰρ ἄνδρα καὶ φίλον ...... πρ]οδοῦναι δυσμ[εν]ῶς εἰλημμένον. 〈ΗΡ.〉 σαυτῶι

book 7.2 τε,] Θησεῦ, τῇ τ’ Ἀθηναίων πό[λει

book 7.3 πρέποντ’ ἔλεξας· τοῖσι δυσ[τυ]χοῦσι γάρ[ln_10]ἀεί ποτ’ εἶ σὺ σύμμαχος· σκῆψιν [δ’ ἐμ]οί ἀεικές ἐστ’ ἔχοντα

book 7.4 πρὸς πάτραν μολεῖν. Εὐρυσθέα γὰρ πῶς δοκεῖς ἄν, ἄσμενον εἴ μοι πύθοιτο

book 7.5 ταῦτα

book 7.6 συμπράξαντά σε, λέξειν ἂν ὡς ἄκραντος ἤθληται πόνος;

book 7 [ln_15][spk_〈θης.〉]〈ΘΗΣ.〉 ἀλλ’ οὖ σὺ χρήιζεις π[.........] ἐμὴν ἔχεις εὔνοιαν, οὐκ ἔμπλ[ηκτον, ἀλλ’ ἐλ]ευθέρως ἐχθροῖσί τ’ ἐχθρὰν [καὶ φίλοισι]ν εὐμενῆ. πρόσθεν ς’ ἐμοὶ τ[............ ]ει λόγος, λέγοις δ’ ἂν [....].[ ]ους λόγους

book 7 [ln_20][spk_〈ηρ.〉]〈ΗΡ.〉 ὦ φ[ ] [ ca. 25 ll. ]ιας [ ca. 24 ll. ὑ]πηρετῶ [ ca. 21 ll. ]. θν[η]τῶ[ν] φρένας [ ca. 19 ll. ]γνώμης ἄτερ[ln_25][ ca. 17 ll. τοῦ]τό σοι φίλον [ 12 ll. ]δικώτατ’ αἰτιᾷ θεούς [ 13 ll. ]η πᾶς [ἀ]νέρριπται κύβος [ 13 ll. ]..οντα μὴ μάταιον ᾖ [ 14 ll. ]ην ἔχω .εξα[.] δὲ χρή[ln_30] [ 20 ll. ]μαθεῖν ὅτου[ [ 21 ll. ].[ ]υσι[ [ 25 ll.].[.].[[ln_32]** [ 25 ll.]γ.εν [ 24 ll. ]αλλαγήν[ln_35][ 25 ll.]ν [ 24 ll.]ρενι [ 24 ll.]ι θεῷ [ 25 ll.] νερτέρων [ 25 ll.]τες[ln_40][] ...

book 8 ...[ln_1][ ].[ [ ]σθε[ [ ]ενοσ[ —[ln_5][ ].ερασσ[ [ ]σον ῥω[ [].υς..[ [ ]νησθεισ[ []λλον ἀθλο[[ln_10] [ ]αρουστα[ [ ]...[ [ ].ηκακ.[ [ ]λοπλα[ [ ]....[[ln_15][ ]..[ [ ]πειν[ [ ]..[ ...

book 9 ...[ln_1][ ]....ω[ [ ]υροιμ[ [ ]οφεω[ [ ]ενηχ[[ln_5]
[ ]πορωγ[ []..ντερεασ[ [ ].καιγην[ [ ].μασε[ [ ]νε[[ln_10]...

book 10.1 {ὁ πρῶτος εἰπὼν} οὐκ ἀγυμνάστῳ φρενί ἔρριψεν, ὅστις τόνδ’ ἐκαίνισεν λόγον, ὡς

book 10.2 τοῖσιν εὖ φρονοῦσι

book 10.3 συμμαχεῖ τύχη

book 11.1 τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου· τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι

book 11.2 ποτέ ῥήτωρ δύναιτο, τὸν δ’ ἄνω

book 11.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τε καὶ κάτω λόγοις

book 11.4 ταράσσων

book 11.5 πολλάκις λυμαίνεται

book 12 οὔκουν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ’ ἢ ζῆν κακῶς;

book 13 ἔφεξιν

book 14 θρᾶξαι

book 16.1 οἳ γῆν ἔχους’ Εὐβοΐδα

book 16.2 πρόσχωρον πόλιν

book 17.1 [spk_〈ραδ.?〉]〈ΡΑΔ.?〉 ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου· ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν, τῷ δ’ οὐχὶ τούτου

book 17.2 φροντίς, ἀλλὰ χρημάτων

book 17.3 πολλῶν κεκλῆσθαι βούλεται

book 17.4 πατὴρ δόμοις·[ln_5]ἄλλῳ δ’ ἀρέσκει μηδὲν ὑγιὲς ἐκ

book 17.5 φρενῶν λέγοντι

book 17.6 πείθειν

book 17.7 τοὺς πέλας τόλμῃ κακῇ· οἱ δ’ αἰσχρὰ κέρδη

book 17.8 πρόσθε

book 17.9 τοῦ καλοῦ βροτῶν ζητοῦσιν· οὕτω βίοτος ἀνθρώπων

book 17.10 πλάνη. ἐγὼ 〈δὲ〉 τούτων οὐδενὸς

book 17.11 χρῄζω

book 17.12 τυχεῖν,[ln_10]δόξαν δὲ βουλοίμην ἂν εὐκλείας ἔχειν

book 18 οὐδεὶς γὰρ ἡμᾶς 〈ὅστισ〉 ἐξαιρήσεται

book 19.1 [ln_1][spk_σις]ΣΙΣ. ἦν

book 19.2 χρόνος ὅτ’ ἦν ἄτακτος ἀνθρώπων βίος καὶ θηριώδης ἰσχύος θ’ ὑπηρέτης, ὅτ’ οὐδὲν ἆθλον οὔτε

book 19.3 τοῖς ἐσθλοῖσιν ἦν οὔτ’ αὖ κόλασμα

book 19.4 τοῖς κακοῖς ἐγίγνετο.[ln_5]κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους θέσθαι κολαστάς, ἵνα δίκη τύραννος ᾖ 〈––〉 τήν θ’ ὕβριν δούλην ἔχῃ· ἐζημιοῦτο δ’ εἴ τις ἐξαμαρτάνοι. ἔπειτ’ ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι[ln_10]ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίᾳ, λάθρᾳ δ’ ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ 〈–〉 πυκνός

book 19.5 τις καὶ σοφὸς γνώμην ἀνήρ 〈θεῶν〉 δέος θνητοῖσιν ἐξευρεῖν, ὅπως εἴη

book 19.6 τι δεῖμα

book 19.7 τοῖς κακοῖσι, κἂν λάθρᾳ[ln_15]πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί 〈τι〉. ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο, ὡς ἔστι δαίμων ἀφθίτῳ θάλλων βίῳ νόῳ τ’ ἀκούων καὶ βλέπων, φρονῶν

book 19.8 τε καί προσέχων

book 19.9 τε ταῦτα καὶ φύσιν θείαν

book 19.10 φορῶν,

book 19.1 [ln_20]ὃς πᾶν {μὲν} τὸ λεχθὲν ἐν βροτοῖς ἀκού〈σ〉εται, 〈τὸ〉 δρώμενον δὲ πᾶν ἰδεῖν δυνήσεται. ἐὰν δὲ σὺν

book 19.2 σιγῇ τι βουλεύῃς κακόν, τοῦτ’ οὐχὶ λήσει

book 19.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοὺς θεούς· τὸ γὰρ

book 19.4 φρονοῦν 〈–〉 ἔνεστι. τούσδε

book 19.5 τοὺς λόγους λέγων[ln_25]διδαγμάτων ἥδιστον εἰσηγήσατο

book 19.6 ψευδεῖ καλύψας τὴν ἀλήθειαν λόγῳ. 〈ν〉 αίει 〈ν〉 δ’ ἔφασκε

book 19.7 τοὺς θεοὺς ἐνταῦθ’ ἵνα μάλιστ’ ἂ 〈ν〉 ἐξέπληξεν ἀνθρώπους ἄγων, ὅθεν

book 19.8 περ ἔγνω

book 19.9 τοὺς φόβους ὄντας βροτοῖς[ln_30]καὶ τὰς ὀνήσεις τῷ ταλαιπώρῳ βίῳ, ἐκ τῆς ὕπερθε

book 19.10 περιφορᾶς, ἵν’ ἀστραπάς κατεῖδον οὔσας, δεινὰ δὲ κτυπήματα βροντῆς τό τ’ ἀστερωπὸν οὐρανοῦ δέμας,

book 19.1 Χρόνου καλὸν

book 19.2 ποίκιλμα, τέκτονος

book 19.3 σοφοῦ,[ln_35]ὅθεν

book 19.4 τε λαμπρὸς ἀστέρος

book 19.5 στείχει μύδρος ὅ θ’ ὑγρὸς εἰς γῆν ὄμβρος ἐκπορεύεται. τοίους πέριξ ἔστησεν ἀνθρώποις φόβους, δι’ οὓς καλῶς

book 19.6 τε τῷ λόγῳ κατῴκισεν τὸν δαίμον’ οὗτος ἐν

book 19.7 πρέποντι

book 19.8 χωρίῳ,[ln_40]τὴν ἀνομίαν

book 19.9 τε τοῖς νόμοις κατέσβεσεν ** οὕτω δὲ πρῶτον οἴομαι

book 19.10 πεῖσαί τινα θνητοὺς νομίζειν δαιμόνων εἶναι γένος

book 21 [ln_1]φεῦ· οὐδὲν δίκαιόν ἐστιν ἐν τῷ νῦν γένει

book 22? ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον

book 23.1 ὅστις δὲ τοῖς φίλοισι πάντα

book 23.2 πρὸς χάριν

book 23.3 πράσσων ὁμιλεῖ, τὴν

book 23.4 παραυτίχ’ ἡδονήν ἔχθραν καθίστης’ εἰς τὸν ὕστερον

book 23.5 χρόνον

book 24.1 δεινὸν δ’ ὅταν

book 24.2 τις μὴ φρονῶν δοκῇ φρονεῖν

book 25.1 σοφῆς δὲ πενίας

book 25.2 σκαιότητα

book 25.3 πλουσίαν κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν

Eulogikon public reading copy · View original HTML at eulogikon.org